UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Palladio Subdiacono. 144.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Παλλαδίῳ ὑποδιακόνῳ. ρμδ.

Οὐκ ἔστι μικρὸν τὸ μικρὸν εἶναι δοκοῦν, τὸ μὴ προστιθέναι ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ, ἀλλὰ καὶ μέγιστον. ὁδὸς γάρ ἐστιν ἐπὶ τὴν ἀρίστην φέρουσα μεταβολήν. εἰ γὰρ τὸ ῥεῦμα τῆς κακίας, τὸ ἐπὶ τὴν ἀπώλειαν τρέχον ἠρεμήσειεν, ἀρχὴν λήψεται ἡ ἐπὶ τὴν ἀρετὴν κίνησις. ὥσπερ γὰρ ἡ ἐν τοῖς σταδίοις στάσις, καὶ ἐφηρέμησις τὴν ἐναντίαν τίκτει κίνησιν. εἰ μὴ γὰρ σταίη, οὐκ ἂν εἰς τοὐναντίον χωρήσειεν, οὕτω καὶ ἐπὶ τῆς κακίας, εἰ μὴ παύσοιτο, οὐκ ἂν τῇ ἀρετῇ χώραν δοίη.

*Palladio Subdiacono.* 144.

Aut exigui momenti res est, exigui licet esse videatur, peccatum peccato minimè cumulare, verùm maximi quoque atque grauissimi. Est enim via, ad optimam mutationẽ ferens. Nam si vitij profluuiũ, quod ad exitium currit, interquieuerit, motus vtique ad virtutem initium sumet. Quemadmodum enim in stadiis institio & quies contrarium motum parit(& enim nisi quis institerit, haudquaquã in aduersum processurus est:) eodem modo in vitio nisi quis finem sibi constituerit, virtuti locum minimè dabit.

Πέτρῳ κορρίκτορι. ρμε.

Ἰσότης φιλότης, ὦ βέλτιστε· τὸ γὰρ ἄνισον τὴν φιλίαν βλάπτειν πέφυκε. μὴ τοίνυν καὶ αὐτὸς φίλῳ χρῶ τῷ αὐτῷ ἀνδρὶ, καὶ κόλακι. οὐ γὰρ ἀνέξεται ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις τὴν φιλίαν συνιστάμενος.

*Petro Correctori.* 145.

AEqualitas amicitia est, vir præclarissime. Sic enim natura comparatum est, vt inæqualitas amicitię detrimentum ac perniciem afferat. Quamobrem caue tu quoque ne eodem homine & amico & adulatore vtaris. Neque enim ille id feret, qui æquo iure amicitiam tecum contraxit.

Θεογνώστῳ πρεσβυτέρῳ. ρμς.

Πολλὰ ἔχων τοῦ ἀοιδίμου Τιμοθέου φράσαι, ἂν εἰς ὃ πάντα τείνει λέξω, ὅτι τῆς ἀρετῆς γνήσιος ὢν ἐραστὴς, ἀεὶ πρὸς τὸ ὑπάρχον αὐτῷ κλέος ἀντηγωνίζετο, τὴν ἐπὶ τοῖς προτέροις ἔκπληξιν τοῖς δευτέροις ἔργοις ἀφανίζων.

*Theognosto Presbytero.* 146.

Cùm de claro viro Timotheo multa, quæ dicam, mihi in promptu sint, vnũ, ad quòd omnia tendunt, referã, nempe quòd cũ syncero virtutis studio flagraret, aduersus eam gloriam, quam obtinebat, perpetuò dimicabat, eam videlicet admirationem, quam ipsi priores actiones pepererant, posterioribus actionibus obscurans.

Εὐτονίῳ διακόνῳ. ρμζ.

Τῆς κατασχούσης τὸ ἀνθρώπινον γένος προλήψεως τὴν τυραννίδα διακόπτων ὁ σωτὴρ, καὶ ἀπὸ τῶν χαμαιζήλων πραγμάτων εἰς τὴν ὑπερκόσμιον αὐτὸ λῆξιν ἀνάγειν σπουδάζων ἐβόα, ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν. τῇ γὰρ φωνῇ τὴν οἰκείαν κεράσας δύναμιν, τῶν ἐθελόντων ἀναπτῆναι, εἰς οὐρανὸν ἀνέρρωσε τὰς δυνάμεις, ὥστε πολλὰ χαίρειν τῇ προλήψει φράσαντας τῆς ἄνω πορείας ἔχεσθαι.

*Eutonio Diacono.* 147.

Christus, vt anticipatæ opinionis, quæ genus humanum occupauit, tyrannidem excinderet, ipsũmque ab humilibus & abiectis rebus ad sedem mundo sublimiorẽ eueheret, clamabat, Surgite, abeamus hinc. Huic enim voci vim suam admiscẽs, eorum, qui in cælum prouolare cupiebãt, vires confirmauit: adeò vt opinione hac, qua prius imbuti erant, longùm valere iussa, cæleste iter arripiant.